**ἀμοιβαῖον, σύστημα κατὰ περικοπήν**

Schol. in Aesch. *sept*. 712-719 (II, p. 310. 26 sqq. Smith) ἡμέτερον· + πείθου γυναιξί] σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐν ἐκθέσει στίχων ἰαμβικῶν τριμέτρων η′ ὧν τελευταῖος· (v. 719) ʻθεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακάʼ. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν T.

Schol. in Aesch. *sept*. 998-1004c (II, p. 403. 2 sqq. Smith) ἡμέτερον· + ἰὼ ἰώ] σύστημα ἕτερον ἀμοιβαῖον κατὰ περικοπὴν ἐν ἐκθέσει κώλων ιβ′, ὧν τὸ μὲν πρῶτον ἑκάστου προσώπου ἰαμβικὴ βάσις, ἤτοι ἰαμβικὸν μονόμετρον, τὸ δὲ β′ τροχαικὸν ἑφθημιμερὲς εὐριπίδειον· ὅτι τινὰ τῶν κώλων οὐ μόνον διὰ μέσου καὶ χορείους ἔχει, ἀλλὰ καὶ ἰάμβους. καὶ ἔστι δῆλον ἐκ τούτων ὅτι τὸ τροχαϊκὸν μέτρον μετὰ τῶν ἄλλων καὶ ἴαμβον δέχεται, εἰ καί τισιν οὐ δοκεῖ τοῦτο. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἀμφότεραι ἔξω νενευκυῖαι, ἡ μὲν κατὰ τὴν ἀρχὴν τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ συστηματικὰ καὶ ἀλλοιόστροφα εἴδη T.

Schol. in Aristoph. *ran*. 416 (p. 288a. 15 sqq. Dübner) ἑξῆς δὲ ταύτης τῆς στροφῆς ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ κώλων ἀναλόγως τῇ στροφῇ κειμένων· ὧν τὸ τελευταῖον παραγράφῳ σημειοῦται.

Schol. in Aristoph. *ran*. 875 (p. 300a. 52 sqq. Dübner) ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα· ὧν τελευταῖος (v. 894) ʻὀρθῶς μʼ ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγωνʼ. ἐπὶ τῷ τέλει παράγραφος. [*C.P.*]